# ΒΑΣΙΛΙΚΑ ΔΙΑΤΑΓΜΑΤΑ (1).

## 1. Ἔνταλμα πρακτικόν.

Ἀνατίθημί σοι τῷ μεγαλοδοξοτάτῳ καὶ ἠγαπημένῳ μοι κυρῷ τῷ δεῖνι τὴν ἐνέργειαν τοῦ κατεπανικίου τοῦ δε ἀπ' ἀρχῆς τοῦ σὺν θεῷ εἰσελευσομένου μηνὸς τοῦ δε τῆς νῦν ἐνεστώσης τόσης ἰνδίκτου, ὀφείλοντος (2) διάγειν ἐπὶ συστάσει καὶ οἰκισμῷ τοῦ τοιούτου κατεπανικίου, καὶ οἰκονομεῖν καὶ πολιτεύεσθαι ἐν αὐτῷ πᾶσαν εὐνομίαν καὶ δικαιοπραγίαν, καὶ μὴ παραχωρεῖν τοῖς δυνατωτέροις καὶ εὐπορωτέροις κατεπεμβαίνειν τῶν ἀδυνάτων καὶ ἀπόρων ἀδίκῳ καὶ πλεονεκτικῷ τρόπῳ τινὶ καὶ τὰ τούτων παρυφαρπάζειν κτήματά τε καὶ πράγματα καὶ τοῖς οἰκείοις συναριθμεῖν, ἀλλὰ ἀνακόπτειν καὶ ἀναστέλλειν αὐτοὺς ἀπὸ τῆς τοιαύτης αὐτῶν ἀδίκου καὶ παραλόγου ὁρμῆς, κρίνειν τε τὰς παρεμπιπτούσας ὑποθέσεις παρουσίᾳ τοῦ διεγκαλοῦντος καὶ διεγκαλουμένου καὶ μονομερῶς καὶ ἀπὸ εἰσηγήσεως, καὶ τὸν ἀναφαινόμενον ὑπαίτιον (3) παιδεύειν καὶ ἐκταγιάζειν πρός τε τὴν ὑπόθεσιν καὶ τὸ πταῖσμα αὐτοῦ καὶ κατὰ τὴν ἐνοῦσαν αὐτῷ εὐπορίαν καὶ δύναμιν, καὶ ἀναλαμβάνεσθαι τὸ διαφέρον σοι ὑπὲρ ἀέρος δίκαιον καὶ εἰσκομίζειν τοῦτο πρός με ἐφ' ἑκάστῳ μηνὶ καὶ λαμβάνειν ἀπόδειξιν· ἐφ' ᾧ καὶ οἱ ἔποικοι ἅπαντες τοῦ τοιούτου κατεπανικίου, ἱερωμένοι, στρατευόμενοι καὶ ὁ κοινὸς ἅπας λαὸς ὁ-

(1) Τῶν βασιλικῶν τούτων διαταγμάτων τὸ μὲν πρῶτον ἐλήφθη ἐκ τοῦ αὐτοῦ Παρισινοῦ κώδικος (2509, φύλ. 170), τὰ δὲ ἑπόμενα δέκα καὶ ὀκτὼ ἐκ τοῦ ὑπ' ἀριθμὸν 2511 κώδικος τῆς αὐτῆς βιβλιοθήκης.

(2) γραπτέον, ὀφείλοντι. (3) χειρ. ὑπέτιον.